6 Οὐχ οἷον δὲ
ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ θεοῦ.
οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ
οὗτοι Ἰσραήλ·
7 οὐδ’
ὅτι εἰσὶν σπέρμα Ἀβραὰμ πάντες τέκνα,
ἀλλ᾿·
*ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα.*
8 τοῦτ’ ἔστιν,
οὐ τὰ τέκνα τῆς σαρκὸς ταῦτα τέκνα τοῦ θεοῦ
ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα.
9 ἐπαγγελίας γὰρ ὁ λόγος οὗτος·
*κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι*
*καὶ ἔσται τῇ Σάρρᾳ υἱός.*
10 Οὐ μόνον δέ,
ἀλλὰ καὶ Ῥεβέκκα
ἐξ ἑνὸς κοίτην ἔχουσα, Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν·
11 μήπω γὰρ γεννηθέντων
μηδὲ πραξάντων τι ἀγαθὸν ἢ φαῦλον,
ἵνα ἡ κατ’ ἐκλογὴν πρόθεσις τοῦ θεοῦ μένῃ,
12 οὐκ ἐξ ἔργων
ἀλλ’ ἐκ τοῦ καλοῦντος,
ἐρρέθη αὐτῇ ὅτι
*ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι,*
13 καθὼς γέγραπται·
*τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα.*

14 Τί οὖν ἐροῦμεν;
μὴ ἀδικία παρὰ τῷ θεῷ;
μὴ γένοιτο.
15 τῷ Μωϋσεῖ γὰρ λέγει·
*ἐλεήσω*
*ὃν ἂν ἐλεῶ*
*καὶ οἰκτιρήσω*
*ὃν ἂν οἰκτίρω.*
16 ἄρα οὖν οὐ τοῦ θέλοντος
οὐδὲ τοῦ τρέχοντος
ἀλλὰ τοῦ ἐλεῶντος θεοῦ.
17 λέγει γὰρ ἡ γραφὴ τῷ Φαραὼ ὅτι
*εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε*
*ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου*
*καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ.*
18 ἄρα οὖν
ὃν θέλει
ἐλεεῖ,
ὃν δὲ θέλει
σκληρύνει.
19 Ἐρεῖς μοι οὖν·
τί [οὖν] ἔτι μέμφεται;
τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν;

[20] ὦ ἄνθρωπε, μενοῦνγε σὺ τίς εἶ
ὁ ἀνταποκρινόμενος τῷ θεῷ;
*μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι·*
*τί με ἐποίησας οὕτως;*
[21] ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος
ποιῆσαι
ὃ μὲν εἰς τιμὴν σκεῦος
ὃ δὲ εἰς ἀτιμίαν;
[22] εἰ δὲ θέλων ὁ θεὸς
ἐνδείξασθαι τὴν ὀργὴν
καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ
ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς
κατηρτισμένα εἰς ἀπώλειαν,
[23] καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους
ἃ προητοίμασεν εἰς δόξαν;

[24] Οὓς καὶ ἐκάλεσεν ἡμᾶς
οὐ μόνον ἐξ Ἰουδαίων
ἀλλὰ καὶ ἐξ ἐθνῶν,
[25] ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει·
*καλέσω τὸν οὐ λαόν μου λαόν μου*
*καὶ τὴν οὐκ ἠγαπημένην ἠγαπημένην·*
[26] *καὶ ἔσται ἐν τῷ τόπῳ*
*οὗ ἐρρέθη αὐτοῖς·*
*οὐ λαός μου ὑμεῖς,*
*ἐκεῖ κληθήσονται υἱοὶ θεοῦ ζῶντος.*
[27] Ἠσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ·
*ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ*
*ὡς ἡ ἄμμος τῆς θαλάσσης,*
*τὸ ὑπόλειμμα σωθήσεται·*
[28] *λόγον γὰρ συντελῶν καὶ συντέμνων ποιήσει κύριος ἐπὶ τῆς γῆς.*
[29] καὶ καθὼς προείρηκεν Ἠσαΐας·
*εἰ μὴ κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα,*
*ὡς Σόδομα ἂν ἐγενήθημεν*
*καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν.*